10 ἢ οὐχ οὗτοί σε διδάξουσιν καὶ ἀναγγελοῦσιν
καὶ ἐκ καρδίας ἐξάξουσιν ῥήματα;
11 μὴ θάλλει πάπυρος ἄνευ ὕδατος
ἢ ὑψωθήσεται βούτομον ἄνευ πότου;
12 ἔτι ὂν ἐπὶ ῥίζης καὶ οὐ μὴ θερισθῇ,
πρὸ τοῦ πιεῖν πᾶσα βοτάνη οὐχὶ ξηραίνεται.
13 οὕτως τοίνυν ἔσται τὰ ἔσχατα πάντων τῶν ἐπιλανθανομένων τοῦ κυρίου·
ἐλπὶς γὰρ ἀσεβοῦς ἀπολεῖται.
14 ἀοίκητος γὰρ αὐτοῦ ἔσται ὁ οἶκος,
ἀράχνη δὲ αὐτοῦ ἀποβήσεται ἡ σκηνή.
15 ἐὰν ὑπερείσῃ τὴν οἰκίαν αὐτοῦ, οὐ μὴ στῇ·
ἐπιλαβομένου δὲ αὐτοῦ οὐ μὴ ὑπομείνῃ·
16 ὑγρὸς γάρ ἐστιν ὑπὸ ἡλίου,
καὶ ἐκ σαπρίας αὐτοῦ ὁ ῥάδαμνος αὐτοῦ ἐξελεύσεται.
17 ἐπὶ συναγωγὴν λίθων κοιμᾶται,
ἐν δὲ μέσῳ χαλίκων ζήσεται.
18 ἐὰν καταπίῃ, ὁ τόπος ψεύσεται αὐτόν·
οὐχ ἑόρακας τοιαῦτα.
19 ὅτι καταστροφὴ ἀσεβοῦς τοιαύτη,
ἐκ δὲ γῆς ἄλλον ἀναβλαστήσει.
20 ὁ γὰρ κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον,
πᾶν δὲ δῶρον ἀσεβοῦς οὐ δέξεται.
21 ἀληθινῶν δὲ στόμα ἐμπλήσει γέλωτος,
τὰ δὲ χείλη αὐτῶν ἐξομολογήσεως·
22 οἱ δὲ ἐχθροὶ αὐτῶν ἐνδύσονται αἰσχύνην,
δίαιτα δὲ ἀσεβοῦς οὐκ ἔσται.

9 1 Ὑπολαβὼν δὲ Ιωβ λέγει
2 Ἐπ᾽ ἀληθείας οἶδα ὅτι οὕτως ἐστίν·
πῶς γὰρ ἔσται δίκαιος βροτὸς παρὰ κυρίῳ;
3 ἐὰν γὰρ βούληται κριθῆναι αὐτῷ,
οὐ μὴ ὑπακούσῃ αὐτῷ,

10$^1$ διδαξ.] + ρηματα A† | αναγγ.] + σοι συνεσιν σοφιας A† | 10$^2$ εξαξ.] σε διδαξουσιν A† || 12$^1$ > S*† | 12$^2$ πασαν βοτανην A | pro ουχι ξηρ. hab. A† stichum εαν δε μη πιη ξηραινεται (etiam stichi praecedentes alio modo distinguuntur) | ουχι ξηρ.] ξηρανθησεται pl. || 13$^1$ κυριου] θεου A† | 13$^2$ ασεβων S*† | απολειται] απ > A† || 14$^1$ γαρ] δε A† | αυτου εσται] tr. SA | οικος] + και η οδος αυτου A† | 14$^2$] η δε σκηνη αυτου αραχνη αποβησεται A† || 15$^2$ αυτου] -της A† || 16$^2$ αυτου 1$^0$ > S || 17$^1$ συναγωγη A || 18$^1$ ο τοπ. ψευσ. / αυτον] tr. A† || 19$^2$ αλλο A† || 20$^1$ αποποιησεται A || 21$^2$ τα δε] και τα A†: cf. 3 12 | εξομολ.] αγαλλιασεως A† || 22$^2$ διαιτα δε] και δι. A† | ασεβων S*†
9 3$^1$ αυτω] μετ αυτου A†